Φιλ. Ὅταν τάφον †στεφανοῖς† κόσμῳ ποικίλῳ,
τὸ ζῆν τὸ σαυτοῦ †στεφάνοις παρηγορεῖ.
Μεν. Τί τῷ θανόντι δῶρα λαμπρὰ προσφέρεις,
ἃ μετ᾽ ὀδύνης εἴασε κοὐκ ἐχρήσατο;
Φιλ. Ζῶν γὰρ σεαυτῷ στέφανον ἀσκοῦ καὶ μύρα·
χρήσῃ γὰρ αὐτοῖς αἰσθόμενος μεθ᾽ ἡδονῆς.
Μεν. Κἂν μυρίων γῆς κυριεύσῃς πήχεων,
θανὼν γενήσῃ τάχα τριῶν ἢ τεσσάρων.
Φιλ. Κἂν μέχρι νεφέων τὴν ὀφρὺν ἀνασπάσῃς,
ὁ θάνατος αὐτὴν πᾶσαν ἑλκύσει κάτω.
Μεν. Πράττων καλῶς μέμνησο τῆς δυσπραξίας·
ὡς γὰρ τὸ πράττειν καὶ τὸ δυσπράττειν σκόπει.
Φιλ. Μὴ λέγε φυγὼν ⟨τὸν⟩ θάνατον ὅτι φεύξει πάλιν.
ὡς γὰρ πέφευγας, προσδόκα καὶ μὴ φυγεῖν.
Μεν. Εἰ γάμος† ἦν ὁ σῴζων† τὴν ἄλλου νόσον,
νοσοῦντα σῴζων αὐτὸς ἀποθνήσκει νοσῶν.